eul_wid: dhu-aa

Ἀντισθένης ὁ Ἀθηναῖος · Antisthenes of Athens II

# Declamations Fragments

## *Αἴας ἢ Αἴαντος λόγος*

**Period:** *Κλασική* Classical
**Dialect:** *Φιλοσοφική Ἀττική* Attic Philosophical
**Domain:** *Φιλοσοφία* Philosophy
**Format:** *Ἔμμετρος* Verse
**Affiliation:** Cynic

book 1.1 Ἐβουλόμην ἂν
book 1.2 τοὺς αὐτοὺς ἡμῖν δικάζειν οἵπερ καὶ ἐν
book 1.3 τοῖς
book 1.4 πράγμασι
book 1.5 παρῆσαν· οἶδα γὰρ ὅτι ἐμὲ μὲν ἔδει
book 1.6 σιωπᾶν, τούτῳ δ’ οὐδὲν ἂν ἦν
book 1.7 πλέον λέγοντι· νῦν δὲ οἱ μὲν
book 1.8 παραγενόμενοι
book 1.9 τοῖς ἔργοις αὐτοῖς ἄπεισιν, ὑμεῖς δὲ οἱ[ln_5]οὐδὲν εἰδότες δικάζετε. καίτοι
book 1.10 ποία
book 1.11 τις ἂν δίκη δικαστῶν μὴ εἰδότων γένοιτο, καὶ ταῦτα διὰ λόγων; τὸ δὲ πρᾶγμα ἐγίγνετο ἔργῳ.
book 2.1 τὸ μὲν οὖν σῶμα
book 2.2 τοῦ Ἀχιλλέως ἐκόμισα ἐγὼ φέρων, τὰ δὲ ὅπλα ὅδε, ἐπιστάμενος ὅτι οὐ τῶν ὅπλων μᾶλλον ἐπεθύμουν οἱ Τρῶες ἀλλὰ τοῦ νεκροῦ κρατῆσαι. τοῦ μὲν γὰρ εἰ ἐκράτησαν, ᾐκίσαντό τε ἂν[ln_5]τὸ σῶμα καὶ τὰ λύτρα
book 2.3 τοῦ Ἕκτορος ἐκομίσαντο· τὰ δὲ ὅπλα τάδε οὐκ ἂν ἀνέθεσαν
book 2.4 τοῖς θεοῖς ἀλλ’ ἀπέκρυψαν,
book 3.1 δεδιότες τόνδε τὸν ἀγαθὸν ἄνδρα, ὃς καὶ πρότερον ἱεροσυλήσας αὐτῶν τὸ ἄγαλμα τῆς θεοῦ νύκτωρ ὥσπερ
book 3.2 τι καλὸν ἐργασάμενος ἐπεδείκνυτο
book 3.3 τοῖς Ἀχαιοῖς. κἀγὼ μὲν ἀξιῶ λαβεῖν ἵν’ ἀποδῶ τὰ ὅπλα
book 3.4 τοῖς[ln_5]φίλοις, οὗτος δὲ ἵν’ ἀποδῶται, ἐπεὶ χρῆσθαί γε αὐτοῖς οὐκ ἂν
book 3.5 τολμήσειε· δειλὸς γὰρ οὐδεὶς ἂν ἐπισήμοις ὅπλοις
book 3.6 χρήσαιτο, εἰδὼς ὅτι τὴν δειλίαν αὐτοῦ ἐκφαίνει τὰ ὅπλα.
book 4.1 σχεδὸν μὲν οὖν ἐστιν ἅπαντα ὅμοια. οἵ τε γὰρ διαθέντες τὸν ἀγῶνα φάσκοντες εἶναι βασιλεῖς

book 4.2 περὶ ἀρετῆς κρίνειν ἐπέτρεψαν ἄλλοις, οἵ τε οὐδὲν εἰδότες δικάσειν ὑπισχνεῖσθε

book 4.3 περὶ ὧν οὐκ ἴστε. ἐγὼ δὲ ἐπίσταμαι

book 4.4 τοῦτο,[ln_5]ὅτι οὐδεὶς ἂν βασιλεὺς ἱκανὸς ὢν

book 4.5 περὶ ἀρετῆς κρίνειν ἐπιτρέψειεν ἄλλοις μᾶλλον ἤπερ ἀγαθὸς ἰατρὸς διαγνῶναι νοσήματα ἄλλῳ παρείη.

book 5.1 καὶ εἰ μὲν ἦν μοι

book 5.2 πρὸς ἄνδρα ὁμοιότροπον, οὐδ’ ἂν ἡττᾶσθαί μοι διέφερε· νῦν δ’ οὐκ ἔστιν ὃ διαφέρει

book 5.3 πλέον ἐμοῦ καὶ τοῦδε. ὃ μὲν γὰρ οὐκ ἔστιν ὅ τι ἂν δράσειε

book 5.4 φανερῶς, ἐγὼ δὲ οὐδὲν ἂν λάθρᾳ τολμήσαιμι

book 5.5 πρᾶξαι.[ln_5]κἀγὼ μὲν οὐκ ἂν ἀνασχοίμην κακῶς ἀκούων, οὐδὲ γὰρ κακῶς πάσχων, ὃ δὲ κἂν κρεμάμενος, εἰ κερδαίνειν

book 5.6 τι μέλλοι·

book 6.1 ὅστις γε μαστιγοῦν

book 6.2 παρεῖχε

book 6.3 τοῖς δούλοις καὶ τύπτειν ξύλοις τὰ νῶτα καὶ πυγμαῖς τὸ πρόσωπον, κἄπειτα

book 6.4 περιβαλόμενος ῥάκη, τῆς νυκτὸς εἰς τὸ τεῖχος εἰσδὺς τῶν

book 6.5 πολεμίων, ἱεροσυλήσας ἀπῆλθε. καὶ ταῦτα ὁμολογήσει[ln_5]ποιεῖν, ἴσως δὲ καὶ πείσει, λέγων ὡς καλῶς πέπρακται. ἔπειτα τῶν Ἀχιλλέως ὅπλων ὅδε ὁ μαστιγίας καὶ ἱερόσυλος ἀξιοῖ κρατῆσαι;

book 7.1 ἐγὼ μὲν οὖν ὑμῖν λέγω

book 7.2 τοῖς οὐδὲν εἰδόσι κριταῖς καὶ δικασταῖς, μὴ εἰς

book 7.3 τοὺς λόγους

book 7.4 σκοπεῖν

book 7.5 περὶ ἀρετῆς κρίνοντας, ἀλλ’ εἰς τὰ ἔργα μᾶλλον. καὶ γὰρ ὁ πόλεμος οὐ λόγῳ κρίνεται ἀλλ’ ἔργῳ· οὐδ’ ἀντιλέγειν ἔξεστι

book 7.6 πρὸς

book 7.7 τοὺς[ln_5]πολεμίους, ἀλλ’ ἢ μαχομένους κρατεῖν ἢ δουλεύειν

book 7.8 σιωπῇ. πρὸς

book 7.9 ταῦτα ἀθρεῖτε καὶ σκοπεῖτε· ὡς, εἰ μὴ δικάσετε καλῶς, γνώσεσθε ὅτι οὐδεμίαν ἔχει λόγος

book 7.10 πρὸς ἔργον ἰσχύν,

book 8.1 οὐδ’ ἔστιν ὑμᾶς ὅ τι λέγων ἀνὴρ ὠφελήσει, εἴσεσθε δὲ ἀκριβῶς ὅτι δι’ ἀπορίαν ἔργων

book 8.2 πολλοὶ καὶ μακροὶ λόγοι λέγονται. ἀλλ’ ἢ λέγετε ὅτι οὐ ξυνίετε τὰ λεγόμενα, καὶ ἀνίστασθε, ἢ δικάζετε ὀρθῶς. καὶ ταῦ-[ln_5]τα μὴ κρύβδην [φέρετε], ἀλλὰ φανερῶς, ἵνα γνῶτε ὅτι καὶ αὐτοῖς

book 8.3 τοῖς δικάζουσι δοτέα δίκη ἐστίν, ἂν μὴ δικάσωσιν ὀρθῶς. κἄπειτ’ ἴσως γνώσεσθε ὅτι οὐ κριταὶ τῶν λεγομένων ἀλλὰ δοξασταὶ κάθησθε.

book 9.1 ἐγὼ δὲ διαγιγνώσκειν μὲν ὑμῖν

book 9.2 περὶ ἐμοῦ καὶ τῶν ἐμῶν ἐπιτρέπω, διαδοξάζειν δὲ ἅπασιν ἀπαγορεύω, καὶ ταῦτα

book 9.3 περὶ ἀνδρός, ὃς οὐχ ἑκὼν ἀλλ’ ἄκων ἀφῖκται εἰς

book 9.4 Τροίαν, καὶ περὶ[ln_5]ἐμοῦ ὃς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 9.5 πρῶτος ἀεὶ καὶ μόνος καὶ ἄνευ

book 9.6 τείχους τέταγμαι.

book 1.1 οὐ πρὸς σέ μοι μόνον ὁ λόγος, δι’ ὃν ἀνέστην, ἀλλὰ καὶ πρὸς

book 1.2 τοὺς ἄλλους ἅπαντας· πλείω γὰρ ἀγαθὰ πεποίηκα τὸ στρατόπεδον ἐγὼ ἢ ὑμεῖς ἅπαντες. καὶ ταῦτα καὶ ζῶντος ἂν ἔλεγον Ἀχιλλέως, καὶ νῦν

book 1.3 τεθνεῶτος λέγω

book 1.4 πρὸς ὑμᾶς.[ln_5]ὑμεῖς μὲν γὰρ οὐδεμίαν ἄλλην μάχην μεμάχησθε, ἣν οὐχὶ καὶ ἐγὼ μεθ’ ὑμῶν· ἐμοὶ δὲ τῶν ἰδίων κινδύνων οὐδεὶς ὑμῶν οὐδὲν ξύνοιδε.

book 2.1 καίτοι ἐν μὲν

book 2.2 ταῖς κοιναῖς μάχαις, οὐδὲ εἰ καλῶς ἀγωνίζοισθε, πλέον ἐγίγνετο οὐδέν· ἐν δὲ τοῖς ἐμοῖς κινδύνοις, οὓς ἐγὼ μόνος ἐκινδύνευον, εἰ μὲν κατορθώσαιμι, ἅπαντα ὑμῖν ἐπετελεῖτο, ὧν ἕνεκα[ln_5]δεῦρο ἀφίγμεθα, εἰ δ’ ἐσφάλην, ἐμοῦ ἂν ἑνὸς ἀνδρὸς ἐστέρησθε. οὐ γὰρ ἵνα μαχοίμεθα

book 2.3 τοῖς

book 2.4 Τρωσὶ δεῦρ’ ἀφίγμεθα, ἀλλ’ ἵνα τήν

book 2.5 τε Ἑλένην ἀπολάβοιμεν καὶ τὴν

book 2.6 Τροίαν ἕλοιμεν.

book 3.1 ταῦτα δ’ ἐν

book 3.2 τοῖς ἐμοῖς κινδύνοις ἐνῆν ἅπαντα. ὅπου γὰρ ἦν κεχρημένον ἀνάλωτον εἶναι τὴν

book 3.3 Τροίαν, εἰ μὴ πρότερον τὸ ἄγαλμα τῆς θεοῦ λάβοιμεν τὸ κλαπὲν

book 3.4 παρ’ ἡμῶν, τίς ἐστιν ὁ κομίσας δεῦρο τὸ ἄγαλ-[ln_5]μα ἄλλος ἢ ἐγώ; ὃν σύ γε ἱεροσυλίας κρίνεις. σὺ γὰρ οὐδὲν οἶσθα, ὅστις τὸν ἄνδρα τὸν ἀνασώσαντα τὸ ἄγαλμα τῆς θεοῦ, ἀλλ’ οὐ τὸν ὑφελόμενον

book 3.5 παρ’ ἡμῶν Ἀλέξανδρον, ἀποκαλεῖς ἱερόσυλον.

book 4.1 καὶ τὴν

book 4.2 Τροίαν μὲν ἁλῶναι ἅπαντες εὔχεσθε, ἐμὲ δὲ τὸν ἐξευρόντα ὅπως ἔσται

book 4.3 τοῦτο, ἀποκαλεῖς ἱερόσυλον; καίτοι εἴπερ καλόν γε ἦν ἑλεῖν τὸ Ἴλιον, καλὸν καὶ τὸ εὑρεῖν τὸ τούτου αἴτιον.[ln_5]καὶ οἱ μὲν ἄλλοι χάριν ἔχουσι, σὺ δὲ καὶ ὀνειδίζεις ἐμοί. ὑπὸ γὰρ ἀμαθίας ὧν εὖ πέπονθας οὐδὲν οἶσθα.

book 5.1 κἀγὼ μὲν οὐκ ὀνειδίζω

book 5.2 σοι τὴν ἀμαθίαν—ἄκων γὰρ αὐτὸ καὶ σὺ καὶ ἄλλοι

book 5.3 πεπόνθασιν ἅπαντες—ἀλλ’ ὅτι διὰ τὰ ὀνείδη τὰ ἐμὰ σῳζόμενος οὐχ οἷός

book 5.4 τε εἶ πείθεσθαι, ἀλλὰ[ln_5]καὶ προσαπειλεῖς ὡς κακὸν δράσων

book 5.5 τι τούσδε, ἐὰν ἐμοὶ τὰ ὅπλα

book 5.6 ψηφίσωνται. καὶ πολλάκις γε ἀπειλήσεις καὶ πολλά, πρὶν καὶ σμικρόν

book 5.7 τι ἐργάσασθαι· ἀλλ’ εἴπερ ἐκ τῶν εἰκότων

book 5.8 τι χρὴ τεκμαίρεσθαι, ὑπὸ τῆς κακῆς ὀργῆς οἴομαί σε κακόν

book 5.9 τι σαυτὸν ἐργάσεσθαι.

book 6.1 καὶ ἐμοὶ μέν, ὅτι

book 6.2 τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 6.3 πολεμίους κακῶς ἐποίησα, δειλίαν ὀνειδίζεις· σὺ δὲ ὅτι

book 6.4 φανερῶς ἐμόχθεις καὶ μάτην, ἠλίθιος ἦσθα. 〈ἢ〉 ὅτι μετὰ πάντων

book 6.5 τοῦτο ἔδρασας, οἴει βελτίων εἶναι; ἔπειτα

book 6.6 περὶ ἀρετῆς

book 6.7 πρὸς ἐμὲ λέγεις; ὃς πρῶτον μὲν οὐκ οἶσθα οὐδ’ ὅπως ἔδει μάχεσθαι, ἀλλ’ ὥσπερ ὗς ἄγριος ὀργῇ φερόμενος τάχ’ ἄν

book 6.8 ποτε ἀποκτενεῖς

book 6.9 σεαυτὸν κακῷ περιπεσών τῳ. οὐκ οἶσθα ὅτι τὸν ἄνδρα τὸν ἀγαθὸν οὔθ’ ὑφ’ αὑτοῦ χρὴ οὔθ’ ὑφ’ ἑταίρου οὔθ’ ὑπὸ τῶν

book 6.10 πολεμίων κακὸν οὐδ’ ὁτιοῦν πάσχειν;

book 7.1 σὺ δὲ ὥσπερ οἱ παῖδες

book 7.2 χαίρεις, ὅτι σέ φασιν οἵδε ἀνδρεῖον εἶναι; ἐγὼ δὲ δειλότατόν γε ἁπάντων

book 7.3 τε καὶ δεδιότα τὸν θάνατον μάλιστα· ὅστις γε

book 7.4 πρῶτον ὅπλα ἔχεις ἄρρηκτα καὶ ἄτρωτα, δι’ ἅπερ σέ φασιν ἄτρωτον εἶναι. καίτοι τί ἂν δράσεις, εἴ τις

book 7.5 σοὶ τῶν

book 7.6 πολεμίων

book 7.7 τοιαῦτα ὅπλα ἔχων

book 7.8 προσέλθοι; ἦ που καλόν

book 7.9 τι καὶ θαυμαστὸν ἂν εἴη, εἰ μηδέτερος ὑμῶν μηδὲν δρᾶσαι δύναιτο. ἔπειτα οἴει

book 7.10 τι διαφέρειν

book 7.11 τοιαῦτα ὅπλα ἔχων ἢ ἐντὸς

book 7.12 τείχους καθῆσθαι; καὶ σοὶ μόνῳ δὴ τεῖχος οὐκ ἔστιν ὡς σὺ φῄς· μόνος μὲν οὖν σύ γε ἑπταβόειον

book 7.13 περιέρχῃ τεῖχος

book 7.14 προβαλλόμενος ἑαυτοῦ·

book 8.1 ἐγὼ δὲ ἄοπλος οὐ πρὸς τὰ τείχη τῶν

book 8.2 πολεμίων ἀλλ’ εἰς αὐτὰ εἰσέρχομαι τὰ τείχη, καὶ τῶν

book 8.3 πολεμίων

book 8.4 τοὺς

book 8.5 προφύλακας ἐγρηγορότας αὐτοῖς ὅπλοισιν αἱρῶ, καὶ εἰμὶ στρατηγὸς καὶ φύλαξ καὶ σοῦ καὶ τῶν ἄλλων ἁπάντων, καὶ οἶδα τὰ τ’ ἐνθάδε καὶ τὰ ἐν

book 8.6 τοῖς

book 8.7 πολεμίοις, οὐχὶ πέμπων κατασκεψόμενον ἄλλον· ἀλλ’ αὐτός, ὥσπερ οἱ κυβερνῆται τὴν νύκτα καὶ τὴν ἡμέραν

book 8.8 σκοποῦσιν ὅπως σώσουσι

book 8.9 τοὺς ναύτας, οὕτω δὲ καὶ ἔγωγε καὶ σὲ καὶ τοὺς ἄλλους ἅπαντας σῴζω.

book 9.1 οὐδ’ ἔστιν ὅντινα κίνδυνον ἔφυγον αἰσχρὸν ἡγησάμενος, ἐν ᾧ μέλλοιμι

book 9.2 τοὺς

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 9.3 πολεμίους κακόν

book 9.4 τι δράσειν· οὐδ’ εἰ μὲν ὄψεσθαί μέ τινες ἔμελλον, γλιχόμενος ἂν

book 9.5 τοῦ δοκεῖν ἐτόλμων· ἀλλ’ εἴτε δοῦλος εἴτε

book 9.6 πτωχὸς καὶ μα-[ln_5]στιγίας ὢν μέλλοιμι

book 9.7 τοὺς

book 9.8 πολεμίους κακόν

book 9.9 τι δράσειν, ἐπεχείρουν ἄν, καὶ εἰ μηδεὶς ὁρῴη. οὐ γὰρ δοκεῖν ὁ πόλεμος ἀλλὰ δρᾶν ἀεὶ καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτὶ φιλεῖ τι. οὐδὲ ὅπλα ἐστί μοι

book 9.10 τεταγμένα, ἐν οἷς

book 9.11 προκαλοῦμαι

book 9.12 τοὺς

book 9.13 πολεμίους μάχεσθαι, ἀλλ’ ὅντινα ἐθέλει

book 9.14 τις

book 9.15 τρόπον, καὶ

book 9.1 [ln_10]πρὸς ἕνα καὶ πρὸς

book 9.2 πολλοὺς ἕτοιμός εἰμ’ ἀεί.

book 10.1 οὐδ’ ἡνίκα κάμνω μαχόμενος, ὥσπερ σύ, τὰ ὅπλα ἑτέροις

book 10.2 παραδίδωμι, ἀλλ’ ὁπόταν ἀναπαύωνται οἱ πολέμιοι, τότε αὐτοῖς τῆς νυκτὸς ἐπιτίθεμαι, ἔχων

book 10.3 τοιαῦτα ὅπλα ἃ ἐκείνους[ln_5]βλάψει μάλιστα. καὶ οὐδὲ νὺξ πώποτέ με ἀφείλετο, ὥσπερ σὲ πολλάκις μαχόμενον ἄσμενον πέπαυκεν· ἀλλ’ ἡνίκα ἂν ῥέγχῃς σύ, τηνικαῦτα ἐγὼ σῴζω σέ, καὶ τοὺς

book 10.4 πολεμίους ἀεὶ κακόν

book 10.5 τι ποιῶ, ἔχων τὰ δουλοπρεπῆ ταῦτα ὅπλα καὶ τὰ ῥάκη καὶ τὰς μάστιγας, δι’ ἃς σὺ ἀσφαλῶς καθεύδεις.

book 11.1 σὺ δ’ ὅτι φέρων ἐκόμισας τὸν νεκρόν, ἀνδρεῖος οἴει εἶναι; ὃν εἰ μὴ ἠδύνω φέρειν, δύο ἄνδρες ἂν ἐφερέτην, κἄπειτα κἀκεῖνοι

book 11.2 περὶ ἀρετῆς ἴσως ἂν ἡμῖν ἠμφισβήτουν. κἀμοὶ μὲν ὁ αὐτὸς ἂν

book 11.3 πρὸς αὐτοὺς ἦν λόγος· σὺ δὲ τί ἂν[ln_5]ἔλεγες ἀμφισβητῶν

book 11.4 πρὸς αὐτούς; ἢ δυοῖν μὲν οὐκ ἂν

book 11.5 φροντίσαις, ἑνὸς δ’ ἂν αἰσχύνοιο ὁμολογῶν δειλότερος εἶναι;

book 12.1 οὐκ οἶσθ’ ὅτι οὐ τοῦ νεκροῦ τοῖς

book 12.2 Τρωσὶν ἀλλὰ τῶν ὅπλων ἔμελεν ὅπως λάβοιεν; τὸν μὲν γὰρ ἀποδώσειν ἔμελλον, τὰ δὲ ὅπλα ἀναθήσειν εἰς τὰ ἱερὰ τοῖς θεοῖς. τοὺς γὰρ νεκροὺς οὐ τοῖς οὐκ ἀναιρουμένοις αἰσχρόν, ἀλλὰ τοῖς[ln_5]μὴ ἀποδιδοῦσι θάπτειν. σὺ μὲν οὖν τὰ ἕτοιμα ἐκόμισας· ἐγὼ δὲ τὰ ὀνειδιζόμενα ἀφειλόμην ἐκείνους.

book 13.1 φθόνον δὲ καὶ ἀμαθίαν νοσεῖς, κακῶν ἐναντιώτατα αὑτοῖς· καὶ ὃ μέν

book 13.2 σε ἐπιθυμεῖν

book 13.3 ποιεῖ τῶν καλῶν, ἣ δὲ ἀποτρέπει. ἀνθρώπινον μὲν οὖν

book 13.4 τι πέπονθας· διότι γὰρ ἰσχυρός, οἴει καὶ ἀνδρεῖος εἶναι. οὐκ οἶσθα ὅτι

book 13.5 σοφίᾳ[ln_5]περὶ πόλεμον καὶ ἀνδρείᾳ οὐ ταὐτόν ἐστιν ἰσχῦσαι; ἀμαθία δὲ κακὸν μέγιστον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

book 13.6 τοῖς ἔχουσιν.

book 14.1 οἶμαι δ’, ἐάν

book 14.2 ποτέ τις ἄρα

book 14.3 σοφὸς

book 14.4 ποιητὴς

book 14.5 περὶ ἀρετῆς γένηται, ἐμὲ μὲν

book 14.6 ποιήσει

book 14.7 πολύτλαντα καὶ πολύμητιν καὶ πολυμήχανον καὶ πτολίπορθον καὶ μόνον τὴν

book 14.8 Τροίαν ἑλόντα, σὲ δέ,[ln_5]ὡς ἐγᾦμαι, τὴν φύσιν ἀπεικάζων

book 14.9 τοῖς

book 14.10 τε νωθέσιν ὄνοις καὶ βουσὶ τοῖς

book 14.11 φορβάσιν, ἄλλοις

book 14.12 παρέχουσι δεσμεύειν καὶ ζευγνύναι αὐτούς.

Eulogikon public reading copy · View original HTML at eulogikon.org